ΑΚΟΛΟΥΘΙΑ
ΣΩΚΡΑΤΟΥΣ ΙΕΡΟΜΑΡΤΥΡΟΣ
21η ΟΚΤΩΒΡΙΟΥ
ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· Μακάριος ἀνήρ. Εἰς δὲ τό· Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν

Στιχηρὰ Προσόμοια.

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τὶς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμὸς ἐστιν.

Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῷ σῷ κράτει φιλάνθρωπε, ὁ Σωκράτης ῥωννύμενος, μαρτυρίου στάδιον χαίρων ἤνυσε, καὶ ταῖς ῥανίσι τοῦ αἵματος, λαμπρῶς ἐπορφύρωσε, τὴν στολὴν τὴν ἱεράν, καὶ ἀνῆλθε γηθόμενος, πρὸς οὐράνια, οὗ πρεσβείαις ἐλέησον οἰκτίρμον, τοὺς ἐν πίστει ἐκτελοῦντας, αὐτοῦ τὴν μνήμην τὴν ἔνδοξον.

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τὶς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμὸς ἐστιν.

Ἱερεὺς ἐνθεώτατος, Ἀθλοφόρος ἀήττητος, ὡς τοῦ θείου Πνεύματος ἐνδιαίτημα, καὶ οἰκονόμος θεόληπτος, ψυχῶν ἐχρημάτισας, ἀριστεύσας ἱερῶς, ἱερώτατε Σώκρατες· διὰ τοῦτό σε, ἡ Χριστοῦ Ἐκκλησία μακαρίζει, ὡς πρεσβεύοντα ἀπαύστως, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὥσπερ στήλη θεόγραφος, εὐσεβείας καὶ χάριτος, τῶν εἰδώλων ἅπαντα τὰ σεβάσματα, ζήλῳ τῷ θείῳ πυρούμενος, συνέτριψας Ἅγιε, καὶ ἐνήθλησας στερρῶς, καὶ τμηθεὶς τὸν αὐχένα σου, Πάτερ Σώκρατες, τῇ πλημμύρᾳ τῶν θείων σου αἱμάτων, κατεπόντισας τὸ στῖφος, τοῦ πονηροῦ κοσμοκράτορος.

Ἕτερα Προσόμοια

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ἦχος δ' Ἔδωκας σημείωσιν.

Φέγγει θείου Πνεύματος, τῇ καθαρᾷ πολιτείᾳ σου, ἐλλαμφθεὶς τὴν διάνοιαν, θεόληπτε Σώκρατες, τῷ Σωτῆρι πάντων, πίστει ἱερούργεις καὶ μαρτυρίου τὴν ὁδόν, ἀνενδοιάστῳ γνώμῃ διήνυσας, Αὐτοῦ τὸ θεῖον ὄνομα, ομολογήσας μακάριε, διὰ τοῦτο στεφάνῳ σε, τῷ διπλῷ κατεκόσμησε.

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

Πίστεως στερρότητι, καὶ ψυχικῇ ἀνδρειότητι, καὶ τῷ λόγῳ τῆς χάριτος, κατήσχυνας ἔνδοξε, εἰδώλων τὴν πλάνην, καὶ δι' ἀσθενείας, σαρκὸς καθεῖλες κραταιῶς, τὸν ἐν κακίᾳ ἰσχυρὸν δράκοντα, Ἱερομάρτυς ἔνδοξε, πάθεσι θείοις ῥωννύμενος· διὰ τοῦτο τὴν μνήμην σου, οἱ πιστοὶ ἑορτάζομεν.

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Ἐν βίῳ θεόληπτος, καὶ ἐν ἀθλήσει στερρότατος, ἐχρημάτισας Σώκρατες, ζωῆς καθαρότητι, καὶ ψυχῆς φρονήσει, καὶ δι' ἀμφοτέρων, εὐαρεστήσας τῷ Χριστῷ, Ἱερομάρτυς ἀξιοθαύμαστε, τὰ ἔπαθλα τῶν πόνων σου, χειρὶ τῇ θείᾳ εἰσδέδεξαι, καὶ τῆς ἄνω λαμπρότητος, ἐπαξίως τετύχηκας.

Δόξα. Ἦχος πλ. β'.

Τὴν ἱερατικὴν ἀμπεχόμενος στολήν, πρὸς ἀθλητικοὺς ἀπεδύσω ἀγῶνας, Ἱερομάρτυς Σώκρατες, τῇ γὰρ θείᾳ ὁμολογίᾳ κραταιωθείς, εἰδωλικῆς μανίας τὴν πλάνην ἤλεγξας, καὶ πρὸς σφαγὴν ἑκούσιον, δέδωκας σαυτόν, τὸν Σωτῆρα μιμούμενος, καὶ τῷ οἰκείῳ αἵματι, τὴν Ἐκκλησίαν ἀρδεύσας, τῆς κεκρυμμένης ἐν Χριστῷ ζωῆς, περιφανῶς ἠξιώθης. Ἀλλ' ὡς ἱερεὺς καὶ Μάρτυς ἀληθής, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος.

Φῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· Διὸ ὁ κόσμος σὲ δοξάζει.

Ὁ Ἱερεύς: Ἑσπέρας προκείμενον!

τό Προκείμενον τῆς ἡμέρας:

Τῇ Κυριακῇ ἑσπέρας Ἦχος πλ. δ'

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τῇ Δευτέρᾳ ἑσπέρας Ἦχος δ'

Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τῇ Τρίτῃ ἑσπέρας Ἦχος α'

Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.
Στίχ. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν.

Τῇ Τετάρτῃ ἑσπέρας Ἦχος πλ. α'

Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.
Στίχ. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ρήματα τοῦ στόματός μου.

Τῇ Πέμπτῃ ἑσπέρας Ἦχος πλ. β'

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.
Στίχ. Ἦρα τούς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τῇ Παρασκευῇ ἑσπέρας Ἦχος βαρὺς

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.
Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμέ λύτρωσαί με.

Τῷ Σαββάτῳ ἑσπέρας Ἦχος πλ. β'

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
Στίχ: Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.
Στίχ: Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.7)

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶ.

Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι'.32)

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ὁ Διάκονος: Τήν «Ἐκτενῆ»: **Ε**ἴπωμεν πάντες……

Ὁ Ἱερεύς τήν ἐκφώνησιν: **Ὅ**τι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς,….

Ὁ Προεστώς ἤ ὁ Ἀναγνώστης:

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος τά «Πληρωτικά»: **Π**ληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν…

Ὁ Ἱερεὺς τήν ἐκφώνησιν: **Ε**ἴη τὸ κράτος τῆς βασιλείας σου…..

Λιτή. Ἦχος α'.

Ὡς θυσίαν εὐπρόσδεκτον, τῇ ἀθλήσει προσήγαγες, σεαυτὸν τῷ Σωτῆρι, Ἱερομάρτυς Σώκρατες, τὰ ἀρ θεῖα μυστήρια, θεολήπτῳ γνώμῃ τελῶν, τῷ ἰδίῳ αἵματι, ἀπετελέσθης Χριστῷ, σφαγιασθεὶς ὡς πρόβατον, ὑπὲρ Αὐτοῦ μακάριε· ὅθεν ἀξίως ἀντεδοξάσθης, ἀντιμισθίᾳ δαψιλεῖ, καὶ πρεσβεύεις ἑκάστοτε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος β'.

Τῇ θείᾳ ψήφῳ ἐκλελεγμένος Κυρίῳ, θεοπρεπῶς διήγαγες, τὴν θείαν ὑπουργίαν, καὶ ἱερατικοῖς ἁγιασμοῖς, τῶν πιστῶν ἁγιάσας τὸ φρόνημα, ἀθλητικαῖς ἀριστείαις ἐδόξασας, τοῦ Σωτῆρος τὸ ὄνομα, περιφανῶς γὰρ ἠνδραγάθησας, κατὰ τῆς πλάνης Σώκρατες, καὶ τῷ κράτει τῆς πίστεως, τῷ κόσμῳ διέλαμψας· διό σε γεραίρομεν, Ἱερομάρτυς ἔνδοξε.

Ἦχος γ'.

Θεοπρεπεῖ πολιτείᾳ κοσμούμενος, τοῖς τοῦ Σωτῆρος ἐλαμπρύνθης στίγμασιν, Ἱερομάρτυς Σώκρατες, ἐν ἀρεταῖς γὰρ θεοειδὴς ὑπάρχων, ἐν Ἀθλητῶν σκάμμασιν, ὤφθης ἀήττητος, καὶ τοῖς διπλοῖς ἀγῶσι, τῶν εὐσεβῶν παιδεύσας τὸ φρόνημα, τὰ ἄνω φρονεῖν καὶ ζητεῖν, τῆς Ἐκκλησίας τὴν εὐπρέπειαν, τοῖς τιμίοις πόνοις σου ἐφαίδρυνας. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Χριστόν, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα… Ἦχος δ΄.

Τὸν ἐν ἱερεῦσιν Ἀθλητήν, καὶ ἐν Μάρτυσιν ἱερέα, Σωκράτην τὸν ἀοίδιμον, μαρτυρικοῖς εὐφημήσωμεν ὕμνοις, τὸ γὰρ θεῖον Εὐαγγέλιον, ἀμέμπτως ἱερουργῶν, ἀθλητικοῖς πόνοις καὶ αἵμασι, τὸν λόγον τῆς πίστεως ἐσφράγισε, καλῶς γὰρ ἀγωνισάμενος, καὶ ἐν πᾶσιν εὐαρεστήσας Χριστῷ, τὸ βραβεῖον τῆς ἄνω κλήσεως, παρ' Αὐτοῦ εδέξατο· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, ῥυεσθαι ἡμᾶς πάσης θλίψεως, ὡς Ἱερομάρτυς ἐνθεώτατος.

Καὶ νῦν… Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Θυσίαν προσάγων τῷ Χριστῷ, πρώην τὴν ἀναίμακτον, ὡς ἱερεὺς ὢν τῆς χάριτος, θεόφρον Σώκρατες, εἶτα προσηνέχθης τούτῳ τῇ ἀθλήσει σου, ὡς θῦμα λογικόν τε καὶ τέλειον· διὸ ἀντέλαβες, οὐρανόθεν δόξαν ἄφραστον, καὶ καμάτων, τῶν σῶν τὴν ἀντίδοσιν.

Στ.: Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Πανεύφημε Σώκρατες σαυτόν, τύπον θείων πράξεων, ἐν Ἐκκλησίᾳ παρέστησας, Ὁσίων ἔνδοξε· ὅθεν τῶν εἰδώλων, συντριβὴν πεποίηκας, καὶ τούτων καθελὼν τὰ σεβάσματα, γνώμης στερῥότητι, διελήλυθας γηθόμενος, μαρτυρίου τὸν δόλιχον Ἅγιοε.

Στ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Τῷ ξίφει τμηθεὶς τὴν κεφαλήν, πάσας ἐναπέτεμες, τὰς μηχανὰς τοῦ ἀλάστορος, παμμάκαρ Σώκρατες, καὶ τῇ οὐρανίῳ, Ἐκκλησίᾳ Ἅγιε, συνήφθης τὴν θυσίαν τὴν ἄϋλον, φέρων τῷ Κτίσαντι, σὺν Ἀγγέλοις μεθ' ὧν πρέσβευε, ὑπέρ πάντων τῶν ἀνευφημούντων σε.

Δόξα… Ἦχος πλ. δ΄.

Εὐσεβῶς ἀγωνισάμενος ἐν ἱερεῦσι καὶ Μάρτυσιν, ἀκριβῶς διέπρεψας, Ἱερομάρτυς Σώκρατες· δι' ἀμφοτέρων γὰρ ἐδόξασας, τὸν τῆς δόξης Κύριον, καὶ τὸ μυστήριον τῆς πίστεως, τοὺς τὴν αἰώνιον ζωὴν ποθοῦντας,

καλῶς ἐμυσταγώγησας. Καὶ νῦν Ἀγγέλοις συνών, καὶ τοῦ ἀνεσπέρου φωτὸς κατατρυφῶν, ἱκέτευε μακάριε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Θεοτοκίον

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ὁ Προεστὼς ἢ ὁ Ἱερεύς: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, …

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ')

Δόξα ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς: Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις ….

Ὁ Χορὸς: Ἀμήν.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀθλήσεως αἵμασι τὴν ἱεράν σου στολήν, ἐνθέως ἐλάμπρυνας, ὑπὲρ τῆς δόξης Χριστοῦ, τιμηθεὶς τὸν αὐχένα σου· ὅθεν ὡς ἱερέα, καὶ στερρὸν Ἀθλοφόρον, Σώκρατες σὲ τιμῶμεν, καὶ θερμῶς σοι βοῶμεν· μὴ παύσῃ καθικετεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα... Καὶ νῦν... Θεοτοκίον

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις Ὅτι πρέπει σοι πᾶσα δόξα...

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α'. **Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Στίχ. β'. **Π**άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,

Στίχ. γ'. **Π**αρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀθλήσεως αἵμασι τὴν ἱεράν σου στολήν, ἐνθέως ἐλάμπρυνας, ὑπὲρ τῆς δόξης Χριστοῦ, τμηθεὶς τὸν αὐχένα σου· ὅθεν ὡς ἱερέα, καὶ στερρὸν Ἀθλοφόρον, Σώκρατες σὲ τιμῶμεν, καὶ θερμῶς σοι βοῶμεν· μὴ παύσῃ καθικετεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα…τό αὐτό

Καὶ νῦν... Θεοτοκίον

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις *Ὅτι σὸν τὸ κράτος...*

Καθίσματα

Μετὰ τὴν α' Στιχολογίαν,

Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.

Τῷ κράτει τοῦ Χριστοῦ, κρατυνθεὶς φερωνύμως, ἠγώνισαι στερρῶς, κατὰ τῆς ἀσεβείας, θεόληπτε Σώκρατες, καὶ τὸν δόλιον δράκοντα καταβέβληκας, τοῖς ἱεροῖς σου καμάτοις· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸν Λόγον τοῦ Πατρός, συλλαβοῦσα ἀφράστως, ἐκύησας Αὐτόν, ἐν διπλῇ τῇ οὐσίᾳ, μίᾳ ὑποστάσει δέ, ὡς ηὐδόκησεν ἄχραντε, καὶ ἐθέωσας, τῶν γηγενῶν τὴν οὐσίαν, τῇ κυήσει Σου, Θεογεννῆτορ Μαρία· διό σε δοξάζομεν.

Μετὰ τὴν β' Στιχολογίαν,

Ἦχος γ'. Τὴν ὡραιότητα.

Βίου λαμπρότητι, καλλωπιζόμενος, λόγον σωτήριον, ἔσχες τῷ στόματι, ὡς ἱερὸς μυσταγωγός, τῆς χάριτος τοῦ Κυρίου· ὅθεν καὶ διήλεγξας, τῶν

εἰδώλων τὸ μάταιον, καὶ προθύμως ἤθλησας, δι' ἀγάπην τοῦ Κτίστου σου, παρ' οὗ ἐμεγαλύνθης ἀξίως, Σώκρατες θεῖε Ἀθλοφόρε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἀῤῥήτως τέτοκας, τὸν ὑπερούσιον, σάρκα γενόμενον, ἐκ τῶν αἱμάτων Σου, καὶ μετὰ τόκον τὸν φρικτόν, παρθένος ἔμεινας Κόρη, ὄντως μεγαλεῖά Σοι, ὁ Δεσπότης ἐποίησεν, ὅτι πρὸ αἰώνων Σε, ἐξελέξατο Ἄχραντε, καὶ ὤφθη διὰ Σοῦ τοῖς ἀνθρώποις, σώζων τοὺς Σὲ ὑμνοῦντας.

Μετὰ τὸν Πολυέλεον,

Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὡς ἱερεὺς καὶ λειτουργὸς τῶν ἀῤῥήτων, μαρτυρικῶς ὑπὲρ Χριστοῦ ἠγωνίσω, Ἱερομάρτυς Σώκρατες μακάριε· ὅθεν παριστάμενος, τοῦ Σωτῆρος τῷ θρόνῳ, πρέσβευε δεόμεθα, πάσης βλάβης ῥυσθῆναι, τοὺς τὴν σεπτήν σου μνήμην ἐν χαρᾷ, ἐπιτελοῦντας, καὶ σὲ μακαρίζοντας.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὡς τοῦ Σωτῆρος ἀειπάρθενος Μήτηρ, καὶ ὑπερτέρα πάσης κτίσεως Κόρη, καὶ τῶν Ἀγγέλων λαμπροτέρα πέλουσα, ἀσυγκρίτως ἄχραντε, εὐμενεῖ ὄμματί Σου, ἐπὶ τὴν ταπείνωσιν, τῆς ἀθλίας ψυχῆς μου, ἴδε καὶ ῥῦσαι ταύτην ἀπεχθοῦς, παθῶν δουλείας, πολλῇ Σου χρηστότητι.

Ἀναβαθμοί

Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.(δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

Δόξα Πατρί...

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ἦχος δ΄

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στ.: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς)

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον, κατὰ Ματθαῖον, ζήτει τῇ 13η Ὀκτωβρίου.

Ὁ Ν' ψαλμὸς (χύμα)

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. **Ἐ**πὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. **Ὅ**τι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς. **Σ**οὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. **Ἰ**δοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. **Ἰ**δοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. **Ῥ**αντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. **Ἀ**κουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. **Ἀ**πόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. **Κ**αρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. **Μ**ὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. **Ἀ**πόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. **Δ**ιδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. **Ῥ**ῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. **Κ**ύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. **Ὅ**τι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. **Θ**υσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. **Ἀ**γάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. **Τ**ότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα. **Τ**ότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα…

Ταῖς τοῦ Ἱερομάρτυρος, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν….

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β'.

Ἐν τῷ φωτὶ τοῦ Χριστοῦ πορευόμενος, ἀπροσκόπτως διώδευσας, τῆς σωτηρίας τὴν ὁδόν, Ἱερομάρτυς Σώκρατες, πρώην μὲν ταῖς ἀρεταῖς, τῇ Ἐκκλησίᾳ ἐκλάμπων, εἶτα δὲ οἰκείῳ αἵματι, πρὸς Χριστὸν ἀναδραμών· Ὧι πρέσβευε ἐκτενῶς ὡς ἔχων παῤῥησίαν, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Σῶσον ὁ Θεὸς τὸν λαὸν σου...Ἐλέει καὶ οἰκτιρμοῖς...

Οἱ Κανόνες·

Κανὼν τῆς Θεοτόκου

Ὠδὴ α' Ἦχος πλ. δ' Ὁ Εἱρμὸς

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν. Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν μὲ διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Παθῶν μὲ ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν. Εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

Τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς:

Σήν, ὦ Σώκρατες, δίδου μοι χάριν. Γερασίμου.

Ὠιδη α'. Ἦχος πλ. β'. Δεῦτε λαοί.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Στέφει ζωῆς, τῆς αἰωνίου κοσμούμενος, καὶ τῷ φωτὶ λαμπόμενος, τοῦ Παντοκράτορος, φῶς μοι αἴτησαι θεῖον, ὦ Σώκρατες ὑμνοῦντι, τὴν θείαν μνήμην σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ σὴ ζωή, ταῖς ἀρεταῖς ὡς ἐξέλαμψε, τῆς εὐσεβείας θεῖόν σε, φωστῆρα ἔδειξε, καὶ μύστην τῶν ἀῤῥήτων, καὶ Μάρτυρα Κυρίου, παμμάκαρ Σώκρατες.

Δόξα…

Νόμῳ Χριστοῦ, πολιτευόμενος Ἅγιε, τὴν ἀνομίαν ἤλεγξας, ἐνθέῳ στόματι, καὶ νομίμως ἀθλήσας, λαμπρῶς ἐμεγαλύνθης, θεόθεν Σώκρατες.

Καὶ νῦν…. Θεοτοκίον.

Ὡς τοῦ Χριστοῦ, Μήτηρ ἀγνὴ ἀδιάφθορος, τὴν ἐκ παθῶν τοῦ σώματος, φθορὰν εἰσρεύσασαν, τῇ ἀθλίᾳ ψυχῇ μου, ἐκκάθαρον Παρθένε, τῇ Σῇ χρηστότητι.

Κανών τῆς Θεοτόκου

Ὠδὴ γ' Ὁ Εἱρμὸς

Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ Θεογεννῆτορ Παρθένε, σὺ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σὺ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σὲ γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Τοῦ Ἁγίου

Ὠιδὴ γ'. Στερέωσον ἡμᾶς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σταγόσι τῶν αἱμάτων σου ἔσβεσας, τὴν φλόγα τῆς πλάνης Ἱερομάρτυς, καὶ πιστῶν πλουσίως ἤρδευσας, τὰς καρδίας πρὸς γνῶσιν τὴν σωτήριον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς θεῖος ἱερεὺς πιστῶς ἱέρευσας, Χριστῷ τῷ τυθέντι ἐθελουσίως, καὶ ὡς θῦμα καθαρώτατον, προσηνέχθης Αὐτῷ, ἀθλήσας ἄριστα.

Δόξα…

Καθεῖλες τῶν ματαίων τὰ σεβάσματα, καὶ τούτων τὰ ξόανα ἀνέτρεψας, πρὸς ἀγῶνας τῆς ἀθλήσεως, ἀπεδύσω προθύμως, Πάτερ Σώκρατες.

Καὶ νῦν…. Θεοτοκίον.

Ῥωννύμενοι Παρθένε τῇ Σῇ χάριτι, οὐδόλως τὰ θράση καὶ τὴν μανίαν, δειλιῶμεν τοῦ ἀλάστορος, ἀλλὰ τούτου ἀεὶ περιγινόμεθα.

Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις *Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον.

Ἱερεύσας ὁσίως παμμάκαρ Σώκρατες, τῇ Παναγίᾳ Τριάδι καθαρωτάτῃ ψυχῇ, τὸ ποτήριον πιεῖν Χριστοῦ ἠξίωσαι, ἐναθλήσας ἀνδρικῶς, ὑπὲρ τῆς δόξης ἑαυτοῦ· ἐντεῦθεν μέτοχος ὤφθης, τῆς τῶν Ἀγγέλων εὐκλείας, Ἱερομάρτυς ἀξιάγαστε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Σαρκωθεὶς ἀποῤῥήτως ἐκ τῶν αἱμάτων Σου, ὁ ὑπερούσιος, Λόγος δι' εὐσπλαγχνίαν πολλήν, τὴν οὐσίαν τοῦ Ἀδὰμ ἁγνὴ ἀνέπλασε, καὶ ἀνήγαγεν αὐτήν, πρὸς ζωὴν τὴν ἀληθῆ, καὶ δόξαν τὴν οὐρανίαν· διό Σου τὰ μεγαλεῖα, πίστει ὑμνοῦμεν καὶ δοξάζομεν.

Κανὼν τῆς Θεοτόκου

Ὠδὴ δ' Ὁ Εἱρμὸς

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων, Θεονύμφευτε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων, τῶν ὑμνούντων σε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἀπολαύοντες, Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης, ἐκλυτρούμεθα.

Τοῦ Ἁγίου

Ὠιδὴ δ΄. Εἰσακήκοα Κύριε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀθλητὴς ὤφθης ἄριστος, ὑπὲρ Χριστοῦ τὸ αἷμά σου ἐκχέας· διό σε ὑμνοῦμεν, Σώκρατες ἔνδοξε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν εἰδώλων τὸ μάταιον, γλώσσῃ τῇ σῇ θεόφρον θριαμβεύσας, τοῦ Χριστοῦ τὸ κράτος, ἄθλοις ὑπέφηνας.

Δόξα…

Ἐντολαῖς τοῦ παντάνακτος, τῶν εὐσεβῶν τὸ φρόνημα παιδεύων, λειτουργὸς ὤφθης, τῆς χάριτος πάνσοφος.

Καὶ νῦν…. Θεοτοκίον.

Σωτηρίας πρὸς τρίβον με, ἐκ τῆς ὁδοῦ ἀνθέλκυσον τῆς πλάνης, ἵνα Σε δοξάζω, μόνη πανύμνητε.

Κανὼν τῆς Θεοτόκου

Ὠδὴ ε' Ὁ Εἱρμὸς

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμῖν, φιλάνθρωπε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων, Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι.

Τοῦ Ἁγίου

Ὠιδὴ ε'. Τῆς νυκτὸς διελθούσης.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δόξαν τὴν τοῦ Σωτῆρος, ἅπασι καταγγέλων, ἀδοξίαν οἷα ψυχόλεθρον, ἤλεγξας τῶν εἰδώλων, καὶ ἤρθης πρὸς μαρτυρίου, Σώκρατες τὴν δόξαν τὴν ἄϋλον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴθυνας τοῦ νοός σου, Σώκρατες τὰς κινήσεις, πρὸς τὸ φῶς Χριστοῦ τὸ ὑπέρλαμπρον· ἔνθεν ἐν ἱερεῦσι, καὶ ἐν Ἀθλοφόροις, ἔλαμψας τῷ κόσμῳ μακάριε.

Δόξα…

Δύναμιν θείαν ἔχων, ἔνδον ἐν τῇ ψυχῇ σου, ὡς λειτουργὸς ἱερώτατος, πᾶσαν τὴν τοῦ βελίαρ, δύναμιν ὀλεθρίαν, ἄθλοις ἱεροῖς κατεπάλαισας.

Καὶ νῦν…. Θεοτοκίον.

Ὄμβρησόν μοι Παρθένε, ἔλεος δυσωπῶ Σε τῷ παθῶν κειμένῳ τοῖς βάθεσιν, ὡς ἂν μετανοίᾳ, τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς, διέλθω ὁ δείλαιος.

Κανὼν τῆς Θεοτόκου

Ὠδὴ ς' Ὁ Εἱρμὸς

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅιδῃ προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς, ὁ Θεὸς με ἀνάγαγε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκώς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν, Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Προστάτιν σὲ τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην, Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διά παντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σὲ παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα. Ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Τοῦ Ἁγίου

Ὠιδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπηρέτης Χριστοῦ ἐνθεώτατος, ὤφθης Πάτερ Σώκρατες καὶ ἠνδραγάθησας, μαρτυρικοῖς παλαίσμασι· διὰ τοῦτο ἀξίως δεδόξασαι.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μαρτυρίου ἀνύσας τὸν δίαυλον, καὶ ἱερωσύνης σου τὸ θεῖον ἔνδυμα, φοινίξας τοῖς σοῖς αἵμασι, πρὸς Χριστὸν γηθοσύνως ἀνέδραμες.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οἱ κρουνοὶ τῶν αἱμάτων σου Σώκρατες, τῶν ὑπὲρ Χριστοῦ χυθέντων γεγόνασι, δρόσος ἡμῖν οὐράνιος, καὶ ψυχῶν θεοδώρητον ἴαμα.

Δόξα…

Ἱερεὺς τοῦ Σωτῆρος θεόληπτος, οἷα καθαρὸς τῇ ψυχῇ ὤφθης Σώκρατες, καὶ Ἀθλητὴς περίδοξος, ὑπὲρ τούτου θανὼν προθυμότατα.

Καὶ νῦν…. Θεοτοκίον.

Χαρμονὴν τῇ ψυχῇ μου οὐράνιον, τῇ λελυπημένῃ παθῶν ἐπιθέσεσι, παράσχου Θεονύμφευτε, ὡς χαρᾶς τῆς ἀλήκτου θησαύρισμα.

Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις Σὺ γὰρ εἶ ὁ βασιλεύς...

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τοῦ Χριστοῦ τῇ χάριτι, καθωπλισάμενος, τὸν ἀγῶνα ἤνυσας, τοῦ μαρτυρίου εὐθαρσῶς, καὶ ἐπαξίως δεδόξασαι, Ἱερομάρτυς ἀοίδιμε Σώκρατες.

Ὁ Οἶκος.

Τὸ θεῖον κράτος τοῦ Χριστοῦ, σαφῶς ἐνδεδυμένος, καὶ εὐσεβείας τῷ φωτί, λαμπρῶς πεπυρσευμένος, τῆς Ἐκκλησίας λειτουργός, καὶ ἱερὸς μυσταγωγός, καὶ λαμπαδοῦχος ὁδηγός, ἐδείχθης θεοφόρε· ἐντεῦθεν θείῳ ἀναπτερωθεὶς ἔρωτι, ὡς τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχων, τὴν τῶν εἰδώλων ματαιότητα ἤλεγξας, καὶ τὰ σεβάσματα τούτων κατέλυσας, τῆς τῶν πιστῶν σωτηρίας, ὡς ποιμὴν ἀληθὴς προνοούμενος, καὶ ἀθλητικῶς τὴν ζωήν σου σφραγίσας, ὑπὲρ Χριστοῦ προθύμως τὸ σὸν αἷμα κέχυκας, Ἱερομάρτυς ἀοίδιμε Σώκρατες.

Συναξάριον.

Τῇ ΚΑ΄ τοῦ Μηνός Ὀκτωβρίου, Μνήμη τῆς Ἁγίας Μάρτυρος Θεοδότης, καὶ Σωκράτους Πρεσβυτέρου.

Στίχοι

Τὴν Θεοδότην, ἐκ ξίφους τετμημένην,
Θεῷ δοτὴν ἔγνωμεν ἁγνὴν θυσίαν.
Ὁ Σωκράτης ἔσπευδεν ὀφθῆναι, Λόγε,
Τετμημένος σοι Σωκράτης στεφοκράτης.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ἱλαρίωνος τοῦ μεγάλου.

Στίχοι

Ἐν δάκρυσι πρὶν καὶ πόνοις σπείρας κάτω,
Ἱλαρίων θέριζε νῦν χαίρων ἄνω.
Ὕστατα Ἱλαρίων κοιμήσατο εἰκάδι πρώτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων, Γαΐου, Δασίου καὶ Ζωτικοῦ.

Στίχοι

Εἰς ἁλμυρὸν θανόντες ἄνδρες τρεῖς ὕδωρ,
Γλυκὺν τρυφῆς πίνουσι χειμάρρουν ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων νεοφανῶν Μαρτύρων, Ἀνδρέου, Στεφάνου, Παύλου, καὶ Πέτρου.

Στίχοι

Τρεῖς ὁ Στέφανος σὺ στεφανίτας ἔχεις,
Τοὺς σοὶ συναθλήσαντας ἐξ ἑνὸς ξίφους.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Ὠδὴ α΄ Ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ὠδὴ γ΄

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον· καί ἐν τῇ θείᾳ δόξῃ σου, ….στεφάνων δόξης ἀξίωσον.

Ὠδὴ δ'

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε'

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου · σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

Ὠδὴ Ϛ'

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Ὠδὴ ζ'

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'

Στίχ. **Α**ἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ

Στίχ. **Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Στίχ. **Ὅ**τι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Στίχ. **Ἐ**ποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Στίχ. **Κ**αθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Στίχ. **Ἀ**ντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Καταβασία Ὠδὴ θ'

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀϋλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις: **Ὅ**τι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὁ ἱερὸς Σωκράτης, ὕμνοις τιμάσθω ἱεροῖς, ὡς ἱερεὺς θεοφόρος, καὶ Ἀθλητὴς περιφανής· δι' ἀμφοτέρων γὰρ ὤφθη, εὐαρεστήσας Κυρίῳ,

Θεοτοκίον.

Θεοχαρίτωτε Κόρη, ἁμαρτωλῶν ἡ προσφυγή, καὶ σωτηρία τοῦ κόσμου, λύτρωσαι πάσης ἀπειλῆς, καὶ πειρασμῶν καὶ κινδύνων, τοὺς προσιόντας σοι πίστει.

ΑΙΝΟΙ

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. **Α**ἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς εὐσεβείας τὴν δόξαν καὶ τὴν λαμπρότητα, ὡς ἱερεὺς Κυρίου, καὶ φωτὸς θείου πλήρης, τοῖς πᾶσιν ὑπεμφαίνων βίῳ τῷ σῷ, ἱερώτατε Σώκρατες, μαρτυρικῶς κατεπάλαισας τὴν ἰσχύν, τοῦ δολίου πολεμήτορος.

Στίχ. **Α**ἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τὴν συντριβὴν τῶν εἰδώλων ἀπεργασάμενος, ὡς τοῦ Εὐαγγελίου, στηλογράφημα ἔμπνουν, διήνυσας τὸν δρόμον καρτερικῶς, τῆς ἀθλήσεως Σώκρατες, καὶ ἐπαξίως ἐστέφθης παρὰ Χριστοῦ, ἀφθαρσίας διαδήματι.

Στίχ. **Α**ἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τῇ ἐκτομῇ ὑποκλίνας τοῦ ξίφους Ἅγιε, τοῖς τῶν αἱμάτων ῥείθροις, τὴν ἁγίαν στολήν σου, ἐφοίνιξας πλουσίως καὶ πρὸς Χριστόν, νικηφόρος

ἀνέδραμες, Ὃν ἐκδυσώπει σωθῆναι τοὺς εὐλαβῶς, Μάρτυς Σώκρατες τιμῶντάς σε.

Στίχ. **Α**ἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ταῖς ὑπὲρ νοῦν λαμπηδόσι καταλαμπόμενος, τῆς ἀρχικῆς Τριάδος, ἐν σκηναῖς οὐρανίαις, Σώκρατες παμμάκαρ ῥῦσαι ἡμᾶς, τοὺς ἐν γῇ σε γεραίροντας, ἐκ σκοτασμοῦ παθημάτων πολυειδῶν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Δόξα… Ἦχος β'

Τῆς ἀληθείας γεηπονῶν τὴν ἄρουραν, καρπὸν πολὺν Χριστῷ ἐξήνεγκας, Ἱερομάρτυς Σώκρατες, τὴν γὰρ ζωήν σου τέθεικας, ὑπὲρ τῆς εὐσεβείας, ἀπαρνησάμενος σαυτόν, ἐν τῇ ἀπεκδύσει τῶν φθαρτῶν, καὶ νομίμως ἀγωνισάμενος, τῆς θείας ἀγάπης τὸ κράτος, πᾶσιν ὑπέδειξας. Ἀλλ' ὡς τῆς ἄνω ζωῆς κληρονόμος, καὶ κοινωνὸς τῆς δόξης Κυρίου, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Ὦ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων! τίς γὰρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν, ὃν ὡς βρέφος Πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. (τρίς)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα …. Καὶ νῦν **….** **Ἅ**γιος Ἀθάνατος, ἐλέησον ἡμᾶς

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀθλήσεως αἵμασι τὴν ἱεράν σου στολήν, ἐνθέως ἐλάμπρυνας, ὑπὲρ τῆς δόξης Χριστοῦ, τμηθεὶς τὸν αὐχένα σου· ὅθεν ὡς ἱερέα, καὶ στεῤῥὸν Ἀθλοφόρον, Σώκρατες σὲ τιμῶμεν, καὶ θερμῶς σοι βοῶμεν· μὴ παύσῃ καθικετεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Τυπικά καί οἱ Μακαρισμοί, καί ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ' καί ἡ ς' Ὠδή.

Εἰδεμή τά Ἀντίφωνα

Ἀντίφωνον Α' (Ψαλμός 102ος)

Στίχ. α΄. **Ε**ὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. β΄. **Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Στίχ. γ΄. **Κ**ύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Στίχ. δ΄. **Ε**ὐλογεῖτε τόν Κύριον, πάντα τά ἔργα αὐτοῦ, ἐν παντί τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Δόξα... Καὶ νῦν...

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Ἀντίφωνον Β' (Ψαλμός 145ος)

Στίχ. α΄. **Α**ἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Στίχ. β΄. **Μ**ακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Στίχ. γ΄. **Τ**όν ποιήσαντα τόν οὐρανόν καί τήν γῆν, τήν θάλασσαν καί πάντα τά ἐν αὐτοῖς.

Στίχ. δ΄. **Β**ασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Δόξα ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον γ'

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀθλήσεως αἵμασι τὴν ἱεράν σου στολήν, ἐνθέως ἐλάμπρυνας, ὑπὲρ τῆς δόξης Χριστοῦ, τιμηθεὶς τὸν αὐχένα σου· ὅθεν ὡς ἱερέα, καὶ στερρὸν Ἀθλοφόρον, Σώκρατες σὲ τιμῶμεν, καὶ θερμῶς σοι βοῶμεν· μὴ παύσῃ καθικετεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον

Ἀθλήσεως αἵμασι τὴν ἱεράν σου στολήν, …..

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον Ἦχος β'

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Ἀπόστολος (26ης Ὀκτωβρίου)

Προκείμενον ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β' Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. (Β΄ Τιμ. β΄ 1-10).

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Χριστοῦ Ἰησοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ὃ λέγω· δώῃ γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος, ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Εὐαγγέλιον 26ης Ὀκτωβρίου

Κοινωνικὸν: Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τὸν Ἱερομάρτυρα τοῦ Χριστοῦ, Σωκράτην τὸν θεῖον, εὐφημήσωμεν ἐν ᾠδαῖς, χαίροις ἐκβοῶντες, αὐτῷ ἀπὸ καρδίας, ὁ τὸν Χριστὸν δοξάσας, οἰκείοις αἵμασι.